www.tezaurliturgic.ro

+

ΑΚΟΛΟΥΘΙΑ

ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ

# ΙΟΥΛΙΑΣ ΤΗΣ ΕΝ ΑΓΚΥΡᾼ

ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤῌ

(ἑορταζομένων τῇ ιη΄ Μαΐου)




Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

ὑπὸ

Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,

Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,

φιλαγίῳ αἰτήσει τοῦ Ἐλλογιμωτάτου κ.Στεργίου Σάκκου,

Καθηγητοῦ Θεολογικῆς Σχολῆς Πανεπιστημίου

Θεσσαλονίκης

Ἅγιον Ὄρος Ἄθως * ͵βϚ΄ * 2006

www.tezaurliturgic.ro



Τῌ ΙΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ
ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΑΡΤΥΡΟΣ ΙΟΥΛΙΑΣ ΤΗΣ ΕΝ ΑΓΚΥΡᾼ
ΚΑΙ ΤΩΝ ΣΥΝ ΑΥΤῌ

* * *

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Ἱστῶμεν στίχ. ϛ΄ καὶ ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος.α΄ Τῶν οὐρανίων ταγμάτων.*

Τὴν τῶν Παρθένων Πλειάδα,
ἀνευφημήσωμεν,
τὴν ἐν Ἀγκύρᾳ ἄθλοις,
συναφθεῖσαν Κυρίῳ,
εἰδώλων γὰρ τὸ σκότος ἐλεγκτικῶς,
μυκτηρίσασα ἔτυχεν,
πνιγμοῦ δι' οὗπερ λιμένι τοῦ οὐρανοῦ,
ἐν χαρᾷ ἠγκυροβόλησεν.

Τῶν χαρισμάτων ἑπτάδα,
κληρονομήσασαι,
κατὰ τὸν μέγαν Παῦλον,
αἱ Παρθένοι Ἀγκύρας,
ἐστέγασαν τὸν οἶκον ἀριπρεπῶς,
τῇ ἀγάπῃ τοῦ Κτίσαντος,
διὸ ἀπάτην τοῦ κόσμου καὶ τὰ τερπνά,
μαρτυρίῳ κατενίκησαν.

Τὸν ἐκ Παρθένου τεχθέντα,
Υἱὸν καὶ Λόγον Θεοῦ,

πάσῃ ψυχῆς δυνάμει,
ὁ χορὸς τῶν Παρθένων,
ἐνώπιον τυράννων μόνον Θεόν,
καὶ Σωτῆρα κηρύξασαι,
νῦν συνευφραίνονται Τούτῳ ἐν τῇ Σιών,
τῇ ἀφθάρτῳ αἱ μακάριαι.

Ὥσπερ ἀμνὰς Ἰουλία,
Ἀμνὸν ἠγάπησας,
τὸν αἴροντα τοῦ κόσμου,
ἁμαρτίας καὶ ἄχθη,
διὸ ὀπίσω Τούτου ᾀσματικῶς,
ἠκολούθησας κράζουσα,
ἔνθα, Νυμφίε μου, μένεις λάβε κἀμέ,
καὶ θεώσεως ἀξίωσον.

Ὁ Ἰσραὴλ μὲν τὸ πάλαι,
ἐκ πέτρας ἤρδευται,
ὑμεῖς δὲ ἀθληφόροι,
κατεσβέσατε δῖψαν,
ψυχῶν τῷ μαρτυρίῳ,
Πέτραν Χριστόν,
ἐφευροῦσαι τὴν ἄϋλον,
ἐξ ἧς ναμάτων ἀφθάρτων τὸν πλουτισμόν,
καὶ ἡμῖν ὑδροδοτήσατε.

Ὡς ἀγαθή, Ἰουλία,
ἡ συνοδία ὑμῶν!
ἅμα γὰρ τῇ Τεκούσῃ,
Φαεινῇ Εὐφρασίᾳ,
Κλαυδίᾳ τε Ματρώνῃ,
καὶ τῇ σεμνῇ,
Ἀλεξανδρίᾳ ᾠκήσατε,
σὺν ταῖς φρονίμοις Παρθένοις,
καὶ τῷ σεπτῷ,
Θεοδότῳ τὸν Παράδεισον.

Δόξα. Ἦχος β΄.

Ἀδελφικῶς συνδεθεῖσαι τῇ ἀγάπῃ τοῦ Χριστοῦ,
γενναιοψύχως ἐκηρύξατε τὴν θεότητα Αὐτοῦ,
πρὸ δυσσεβούντων τυράννων,
Παρθένοι ἑπτάριθμοι·
ὅθεν ἐν τῇ λίμνῃ συῤῥιφθεῖσαι,
τῷ ἐπὶ ὑδάτων περιπατήσαντι Κυρίῳ ἡνώθητε,
ἐν δὲ πυρὶ τὰ λείψανα ὑμῶν ἀποτεφρωθεῖσαι,
παράσχοιτε, δεόμεθα, καὶ ἡμῶν ταῖς ψυχαῖς ἀειφλεγῆ,
τὸ ἄϋλον πῦρ τοῦ θείου ἔρωτος

Καὶ νῦν. Θεοτοκίον.
*Παρῆλθεν ἡ σκιὰ ἡ τῆς προλαβούσης ἑορτῆς*
*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.*
*Τὰ Ἀναγνώσματα*
*Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος, Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε, ὅτι ἐγὼ εἰμί. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμί, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ’ ἡμῶν

www.tezaurliturgic.ro

πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*
*(Κεφ.31, 10-30)*

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστιν λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς· ἡ τοιαύτη καλῶν σκύλων οὐκ ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκεν βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισεν τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστιν τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι, καρπὸν δὲ ἐξέτεινεν πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ. Πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδιδύσκονται. Δισσὰς χλαίνας ἐποίησεν τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ γίνεται ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησεν καὶ ἀπέδοτο, περιζώματα δὲ τοῖς Χαναναίοις. Στόμα αὐτῆς διήνοιξεν προσεχόντως καὶ ἐννόμως καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις. Στεγναὶ διατριβαὶ οἴκων

αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγεν.Τὸ στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησεν τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. Πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν· σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῇρας πάσας. Ψευδεῖς ἀρέσκειαι καὶ μάταιον κάλλος γυναικός· γυνὴ γὰρ συνετὴ εὐλογεῖται. Φόβον δὲ Κυρίου αὕτη αἰνείτω. Δότε αὐτῇ ἀπὸ καρπῶν χειρῶν αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*

*Ἦχος α´*

Ἀνδρείως τῶν γηΐνων ὑπεραρθεῖσαι,
γενναίως κατενικήσατε τὸν μισόψυχον ἐχθρόν,
διὰ τοῦ διπλοῦ ἀγῶνος τῆς παρεθενίας καὶ μαρτυρίου·
ὅθεν συνιστάμεναι νῦν τῷ πεποθημένῳ Χριστῷ,
ὑπὲρ ἡμῶν Αὐτὸν καθικετεύσατε,
Ἀγκύρας σεπταὶ Παρθενομάρτυρες.

*Ἦχος β´*

Πίστει, ἐλπίδι τε καὶ ἀγάπῃ,
τὴν θάλασσαν τοῦ βίου διεπλεύσατε,
Παρθενομάρτυρες Χριστοῦ·
καὶ νῦν ὡς πολύφοροι νῆες καθορμισθεῖσαι,
ἐν τῷ λιμένι τῆς ἀφθάρτου Βασιλείας,
Χριστῷ ἀδιαλείπτως πρεσβεύετε,
σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

*Ἦχος γ´*

Διὰ πνιγμοῦ καὶ πυρὸς δοκιμασθεῖσαι,
χρυσοῦ ὀβρυζότεραι ἐδείχθητε,
ἑπτάριθμοι Παρθενομάρτυρες,
λῆξιν εὑράμεναι τοῦ θείου ἔρωτος ὑμῶν,

ὡς ἔλαφοι χριστοδίψαστοι,
παρὰ τὰς πηγὰς τοῦ Ζῶντος ὕδατος,
τοῦ Ἰησοῦ τοῦ Ἀρχιμάρτυρος.

*Ἦχος δ΄*

Τὴν ἐν Χριστῷ φιλαδελφίαν ἄῤῥηκτον διαφυλάξασαι,
καὶ ζῶσαι καὶ μετὰ θάνατον,
ὁμοῦ καὶ τοὺς στεφάνους ἀπελάβετε,
ἅγιαι Παρθενομάρτυρες·
τρυφῶσαι δὲ σὺν τῷ συνάθλῳ Θεοδότῳ,
ἐν τῇ ἀΰλῳ τραπέζῃ τῆς Βασιλείας τοῦ Χριστοῦ,
πάντων ἡμῶν μνήσθητε,
τῶν φαιδρῶς ἐπιτελούντων,
τὸ ἱερὸν ὑμῶν μνημόσυνον.

*Δόξα. Ἦχος πλ.α΄*

Τὸ πνεῦμα ἀληθείας τὸ ἑπτάδωρον,
καλῶς ὑμᾶς συνήρμοσεν Αὐτῷ,
ἐν ἀφθάρτῳ γάμῳ,
ἑπτάριθμοι ἀμνάδες τοῦ Χριστοῦ.
Ὅτι ὡς φρόνιμοι παρθένοι
τὸν λύχνον τῆς ἁγνείας ἀειλάμποντα τηρήσασαι,
διὰ τοῦ μαρτυρίου τῆς κληρουχίας τοῦ Νυμφῶνος μετέσχετε,
ἔνθα ὁρῶσαι τηλαυγῶς Ὃν ἐποθήσατε,
δότε καὶ ἡμῖν τοῖς αἰτουμένοις,
τὴν ζωὴν τὴν αἰώνιον.

*Καὶ νῦν. Μακαρίζομέν σε ἡ τῆς ἑορτῆς.*

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

*Ψάλλομεν στιχηρὰ προσόμοια.*
*Ἦχος πλ.α΄ Χαίροις ἀσκητικῶν.*

Χαίροις ἡ χριστοφόρος ἑπτὰς,

Παρθενομάρτυρες Ἀγκύρας αἱ ἔνδοξοι,
ὑμεῖς γὰρ τῷ θείῳ βέλει,
κατατρωθεῖσαι Χριστοῦ,
ὡς ποιμένι ἄρνες ἐκολλήθητε,
ἁγνείαν τηρήσασαι,
θεοδώρητον χάρισμα,
καὶ πρὸ τυράννων,
εὐθαρσῶς τὸν Θεάνθρωπον,
μόνον Κύριον,
καὶ Σωτῆρα κηρύξασαι,
ἄμωμοι ἐφυλάχθητε,
καὶ λίμνῃ ἐῤῥίφθητε,
εἶτα πυρὶ ἐκδοθεῖσαι,
μαρτύρων στέφος ἐλάβετε.
Διὸ παῤῥησίαν,
κεκτημέναι τῶν τιμώντων,
πάντοτε μνήσθητε.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Δόσις ὡς ἀληθῶς τοῦ Θεοῦ,
χορῷ παρθένων ἀνεδείχθης, Θεόδοτε,
πρὸς ἄθλησιν ὑπαλείφων,
καὶ ὑποκαίων τὸ πῦρ,
τῆς Χριστοῦ ἀγάπης,
σοφαῖς ῥήσεσι·
μετὰ δὲ τὴν ἄθλησιν,
τὰ ἁγνὰ τούτων λείψανα,
σεμνῶς ἐνθάψας,
μαρτυρίων μετέσχηκας,
καὶ συμμέτοχος,
Βασιλείας γεγένησαι·
ἔνθα Χριστὸν ἱκέτευε,
φιλάδελφε ἅγιε,
ὅπως ἡμῶν ταῖς καρδίαις,
καίῃ τὸ πῦρ θείου ἔρωτος,
τὸ φλέγον ἀπάτην,

ἡδονῶν τῶν φθειρομένων,
ἀΰλοις καύσεσι.

*Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Χαίροις σεμνῶν παρθένων χορός,
ἡ τὸν σατὰν γενναιοφρόνως πατήσασα,
χριστόψυχε Ἰουλία,
Τεκοῦσα σὺν Φαεινῇ,
καὶ Ἀλεξανδρία,
σὺν Κλαυδίᾳ τε,
Ματρῶνα φιλόθεε,
Εὐφρασία ἡ πάγκαλλος,
αἱ διπλοῦν στέφος,
ἐκ Χριστοῦ κομισάμεναι,
παρθενίας τε,
καὶ μαρτύρων τὸ ἄφθαρτον,
ὕδωρ καὶ πῦρ γὰρ ἔσχετε,
ἀθλήματα ζώπυρα,
δι' ὧν ὑμῶν τῷ Δεσπότῃ,
συνεσταυρώθητε τέλεον,
καὶ νῦν σὺν Ἁγίων,
τοῖς χοροῖς Πάντων ἑστῶσαι,
ἡμᾶς στηρίξατε.

*Δόξα. Ἦχος πλ.δ΄.*

Τοῖς μαρτυρικοῖς αἵμασιν ὑμῶν ποτίσασαι,
τὸ ἀειθαλὲς καὶ ἄχραντον ἄνθος τῆς ἁγνείας,
ἐν Παραδείσῳ τῆς ζωῆς μετεφυτεύθητε ἀφθάρτως,
ἑπτάριθμοι Παρθενομάρτυρες Ἀγκύρας.
Καὶ σὺν τῷ φιλομάρτυρι Θεοδότῳ μελῳδικῶς,
ἐν τῇ Ἐδὲμ ᾄδουσαι τὰ χριστυμέναια,
μνήσθητε καὶ ἡμῶν δεόμεθα,
ὅπως μέτοχοι γενώμεθα τῆς ἐν Χριστῷ καταπαύσεως.

*Καὶ νῦν. Θεοτοκίον, Ἀνύμφευτε Παρθένε ἢ τῆς προλαβούσης ἑορτῆς.*
*Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.*

*Ἀπολυτίκιον. Ἦχος α΄ Τῆς ἐρήμου πολίτης.*

Τῇ ἀγκύρᾳ ἀγάπης τῷ Χριστῷ συνηνώθητε,
αἱ ἐν τῇ Ἀγκύρᾳ Παρθένοι,
καρτερῶς ἐναθλήσασαι.
Εἰδώλων γὰρ ἐλέγξασαι ἀχλύν,
ἀγῶσιν ἐδοξάσατε Θεόν,
κοινωνήσασαι δὲ ὕδατος καὶ πυρός,
Παράδεισον ἐλάβετε·
ἔνθα Νυμφίον νοητόν,
πᾶσαι καθικετεύετε,
ὅπως τὸν ἔρωτα Αὐτοῦ,
ψυχαῖς ἡμῶν χαρίσηται.

*ἕτερον τῆς ἁγίας Ἰουλίας, ὁμόηχον*

Χριστομύριστον ἴον, Ἰουλία, γεγένησαι,
κατευωδιάζουσα ἄθλοις,
Ἐκκλησίας τὸ σύστημα;
τρωθεῖσα γὰρ τῷ ἔρωτι Θεοῦ,
εἰδώλων διεσκέδασας ἀχλύν,
διὸ λίμνῃ ἀπεπνίγης σὺν ταῖς λοιπαῖς,
Παρθένοις ὁμοψύχοις σου.
Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα τῷ σὲ στεφανώσαντι,
καὶ ταῖς ἁγίαις σου εὐχαῖς,
ἡμᾶς καθαγιάζοντι.

*Θεοτοκίον, Τοῦ Γαβριὴλ φθεγξαμένου ἢ τῆς ἑορτῆς*

*Ἀπόλυσις*

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Ζωῆς τῆς ἀληθοῦς,
κληρουχίαν ποθοῦσαι,
ἁπάντων τῶν φθαρτῶν,
παριδοῦσαι συμφώνως,
Χριστῷ ἐκολλήθητε,
καὶ Αὐτὸν συγκηρύξασαι,
πάντων Κύριον,
πρὸ δυσσεβούντων τυράννων,
ἀπεπνίγητε,
ἀπολαβοῦσαι τὸ στέφος,
Παρθένοι ἑπτάριθμοι.

*Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.*

*Μετὰ τὴν β΄ στιχολογίαν.*
*Κάθισμα. Ἦχος γ΄.Τὴν ὡραιότητα.*

Καθυποτάξασαι,
Χριστοῦ τῇ χάριτι,
σῶμα δυσήνιον,
οἶκοι ἐπώφθητε,
εὐωδιάζουσαι σεμναί,
ὡς κρῖνα θεομύριστα·

ὅτε δὲ ἠθλήσατε,
ἐν πυρί τε καὶ ὕδατι,
δόξης συμμετέσχετε,
ἧς μετέχουσι μάρτυρες·
διὸ Παρθενομάρτυρες θεῖαι,
ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

*Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.*

*Μετὰ τὸν Πολυέλεον.*
*Κάθισμα. Ἦχος δ΄.Ἐπεφάνης σήμερον.*

Τῶν ψυχῶν ἁγνότητι,
ὡραϊσμέναι,
τῷ Χριστῷ ἡνώθητε,
ἐν μαρτυρίῳ θαυμαστῷ,
σὺν Θεοδότῳ μακάριαι,
ἑπτὰ Παρθένοι,
Ἀγκύρας καυχήματα.

*Δόξα. Καὶ νῦν. Τῆς προλαβούσης ἑορτῆς.*

*Οἱ Ἀναβαθμοί.* Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου· Ἐκ νεότητός μου.
*Προκείμενον·* Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.
Στίχος· Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.

Εὐαγγέλιον· τὸ τῶν Δέκα Παρθένων(Ματθ.25,1 κ.ἑ.)
*Ὁ Ν΄ ψαλμός,* Ἐλέησόν με ὁ Θεός.
*Δόξα.* Ταῖς τῶν Ἀθληφόρων.
*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*Εἶτα τὸ στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β.*
Στίχ. *Ἐλέησόν με ὁ Θεός....*

Τῷ ἐκ Παρθένου τεχθέντι Ἰησοῦ,
τὴν παρθενίαν ἄσπιλον τηρήσασαι,
ἑπτὰ Παρθένοι τῆς Ἀγκύρας,
καὶ τὴν θεότητα Αὐτοῦ μαρτυρικῶς ὁμολογήσασαι,
τὴν ἄφθαρτον δόξαν τοῦ Νυμφῶνος ἀπειλήφατε·
διὸ αἰτούμεθα,
χαρίσασθαι καὶ ἡμῖν ἄσβεστον τὴν φλόγα,
τοῦ θείου ὑμῶν ἔρωτος.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*

*Ὁ Κανὼν τῶν Ἁγίων Μαρτύρων, οὗ ἡ ἀκροστιχίς:*
**«Ὡς πολυχριστόχρωμα ἴα ᾄσω Παρθένους .Ἀ(θανάσιος)».**
*ᾨδὴ α΄. Ἦχος α.΄ Ἀναστάσεως ἡμέρα.*

Ὡς φαιδρόψυχος ἡμέρα,
τῶν Παρθένων Χριστοῦ,
μνήμη ἡμῖν ἐπέστη,
πανηγυρίσωμεν λαμπρῶς,
καὶ ἐν ὕμνοις χαρμονῆς,
τὰς κάρας αὐτῶν,
λαμπρῶς στεφανώσωμεν,
ἀδελφοὶ φιλομάρτυρες.

Συμψυχίᾳ παναρίστῃ,
συνδεθεῖσαι στεῤῥῶς,
τῷ ἐκ Παρθένου φύντι,
ἀφιερώθητε Χριστῷ,
καὶ ὡς ἄγκυραν ὑμῶν,
Παρθένοι ἑπτά,
μαρτύριον ῥίψασαι,
Βασιλείαν ἐφθάσατε.

Πειρασμῶν τῶν γηΐνων,
τὸ ἀκάματον πῦρ,
φλογὶ Χριστοῦ ἀγάπης,
ἀπομαράνασαι σοφῶς,

ἡδονῶν πνευματικῶν,
δοχεῖα σεπτά,
Παρθένοι, ἐπώφθητε,
τοὺς πιστοὺς κατοσμίζουσαι.

*Θεοτοκίον*

Ὁ Υἱὸς σου Παρθένε,
γλυκασμὸς τῶν ψυχῶν,
πέφυκε χριστωνύμων,
καὶ ὡς δεινὸς τοξευτὴς,
ἐν τοῖς βέλεσιν Αὐτοῦ,
παρθένους ἁγνάς,
καιρίως κατέτρωσεν,
ὡς Νυμφίος τοῦ Ἄσματος.

*ᾨδὴ γ΄. Δεῦτε πόμα πίωμεν.*

Λύχνον τῆς ἀγάπης Ἰησοῦ,
Ἰουλία, ἐτήρησας ἀεὶ ζώπυρον,
ὅθεν νυμφῶνα Αὐτοῦ,
ἐναθλήσασα καλῶς τὰ νῦν κατοικεῖς,
τὴν χάριν παρέχουσα,
τοῖς τιμῶσι τὴν μνήμην σου.

Ὑπὲρ τὰ ὁρώμενα τὸν νοῦν,
Εὐφρασία, ἐπάρασα καὶ ποθήσασα,
τὸν ἐκ Παρθένου μητρός,
γεννηθέντα σεαυτὴν δοχεῖον σεπτόν,
ἐν βίῳ ἀνέδειξας,
παρθενίαν ἐξασκήσασα.

Χοῦν, Ἀλεξανδρία, καὶ χοός,
τὰ μετέχοντα πάντα σοφῶς κατέπτυσας,
ἐπιποθοῦσα ζωήν,
ἣν παρέχει ὁ Ζωῆς Χριστὸς χορηγός,
διὸ ταύτην εὕρηκας,

παρθενίᾳ καὶ αἵματι.

*Θεοτοκίον*

Ῥῦσαι, Θεοτόκε, τῆς φθορᾶς,
τοὺς ποθοῦντας Υἱόν σου τὸν ὑπερφίλτατον,
καὶ πολεμοῦντας ἀεί,
πρὸς ἀόρατον ἐχθρὸν τοῦ γένους ἡμῶν,
ὃν αἵματι ἔπνιξαν,
αἱ ἑπτὰ Παρθενομάρτυρες.

*Κάθισμα .Ἦχος πλ.α΄.Τὸν συνάναρχον Λόγον.*

Ὡς ἀμνάδες Κυρίου ὀπίσω τρέχουσαι,
παρθενίᾳ συμμείξασαι τὸ μαρτύριον,
ἐν τῇ ὑδάτων πνιγμονῇ,
Αὐτὸν νῦν ἔχετε,
πηγὴν ζωῆς ἀληθινῆς,
σὺν Θεοδότῳ τῷ σεπτῷ,
Παρθένοι ἑπτὰ Ἀγκύρας,
καὶ τοῖς πιστοῖς χορηγεῖτε,
τὰ σωτηρίᾳ συντείνοντα.

*Δόξα. Καὶ νῦν.Τῆς προλαβούσης ἑορτῆς.*

*Ὠδὴ δ΄. Ἐπὶ τῆς θείας φυλακῆς.*

Ἵνα κερδήσῃς τὸν Χριστόν,
Τεκοῦσα, πάντα τὰ τερπνά,
βίου ἀπηρνήσω παρόντος,
ἐπιπνοίᾳ ἄνωθεν,
καὶ τὸν σταυρὸν ἐπάρασα,
διὰ τοῦ σεπτοῦ μαρτυρίου,
στέφει ἀφθάρτῳ δικαίως κατέστεψαι.

Συσταυρωθεῖσα τῷ Χριστῷ,

ὥσπερ ὁ Παῦλος ἐκβοᾷ,
ἐν ἐπιστολῇ πρὸς Γαλάτας,
ὦ Ματρῶνα, πάνσεμνε,
γενναιοφρόνως ἔδραμες,
εἰς ὑπαπαντὴν μαρτυρίου,
σὺν ὁμοψύχοις Παρθένοις ὡς ἔλαφος.

Τεμοῦσα πάντα γεηρά,
ἐκ τοῦ φρονήματος τοῦ σοῦ,
δέδειξαι, Κλαυδία, ὡς κλῆμα,
σταφυλὴν περκάσασα,
παρθένου τε καὶ μάρτυρος,
ὅθεν νοητῶς νῦν εὐφραίνῃ,
οἶνον Χριστὸν ἐν Σιὼν τὴν ἄνω πίνουσα.

*Θεοτοκίον*

Οὐδὲν γλυκύτερον Χριστοῦ,
τοῖς πεποιθόσιν ἐπ' Αὐτῷ,
πέφυκεν, Ἁγνὴ Θεομῆτορ·
ὅθεν θεῖος σύλλογος,
Παρθένων ἐσκιρτοβάτησε,
πρὸς γενναιοψύχους ἀγῶνας,
δι' ὧν Ἀγγέλων τὰ στίφη κατέπληξεν.

*ᾨδὴ ε´. Ὀρθρίσωμεν ὄρθρου βαθέος.*

Χριστόν, Φαεινή, ἐπιποθοῦσα,
τὸ φῶς φωτίζον ἀνθρώπων ψυχὰς ἀπλέτως,
τῶν εἰδώλων ἔπτυσας,
τὴν πλάνην τὴν δυσείμονα,
καὶ μαρτυρίου τῆς δόξης ἠξίωσαι.

Ῥημάτων ἀκούσασα τοῦ Σωτῆρος,
προσκαλουμένων εἰς αἰώνιον εὐφροσύνην.
Εὐφρασία πάντιμε,

τὴν παρθενίαν ἔστεψας,
ἀποπνιγεῖσα τῆς λίμνης τοῖς ὕδασι.

Ὡς γνήσιος ὑπαλείπτης ἐδείχθης,
ἑπτὰ Παρθένων, Θεόδοτε, καὶ Μαρτύρων,
καὶ μισθὸν ἀπέλαβες,
οὐράνιον μαρτύριον,
κατατρυφῶν τοῦ προσώπου Δεσπότου σου.

*Θεοτοκίον*
Μὴ λείπῃς παρισταμένη καθ’ἑκάστην,
ἡμῖν, Παρθένε, σφοδρῶς πολεμουμένοις,
ἀλλ’ ἀεὶ ἐνίσχυε,
ἀγῶνας τῆς ἀθλήσεως,
οὓς δι’ ἀγάπην Υἱοῦ σου ἀνελάβομεν.

*Ὠδὴ Ϛ΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.*

Ἀνῆλθες, ἐν τοῖς οὐρανοῖς θαυμαστῶς,
ἐναθλήσασα σοφῶς, Ἰουλία,
ὀχήματι ἄθλων σου σεπτῶν,
δι’ὧν ἔδειξας,
τῆς ἀγάπης πλησμονήν,
πρὸς Νυμφίον ψυχῆς σου.

Ἰδού σοι, κληρουχία λαμπρά,
ἣν ἐπόθησας, σεμνὴ Ἀλεξανδρία,
χορὸς γὰρ ἁγίων τοῦ Χριστοῦ,
ὑπεδέξατο,
σὲ κρατοῦσαν διπλοῦν,
τὸ ἀμάραντον στέφος.

Ἀφθάρτως, προσηνέχθης Χριστῷ,
ὦ Κλαυδία, καὶ συνήφθης ὡς νύμφη,
ὡς προῖκα δεικνύουσα σεμνήν,
παρθενίαν σου,
καὶ αἱμάτων ἁγνῶν,

τὴν ὁλόθυμον χύσιν.

*Θεοτοκίον*

Ἀψεύστως, ἐπιτυχοῦσα τοῦ σοῦ,
ὦ Τεκοῦσα, ἐφετοῦ ἐκδυσώπει,
τὴν Πάναγνον ἔχουσα θερμήν,
συνευχέτριαν,
ὑπὲρ κόσμου παντός,
καὶ ἡμῶν σὲ τιμώντων.

*Κοντάκιον. Ἦχος δ΄ Ὁ ὑψωθείς.*

Πνευματικῶς συνδεδεμέναι, Παρθένοι,
τοῦ Ἰησοῦ τῇ ἀκηράτῳ ἀγάπῃ,
Αὐτὸν ἀνεκηρύξατε γενναίᾳ φωνῇ,
πρὸ τυράννων Κύριον,
καὶ Θεὸν ὄντως ὄντα,
ὅθεν ἐν τοῖς ὕδασι καὶ πυρὶ ἐκδοθεῖσαι,
χαρμονικῶς ὁρᾶτε τὸ γλυκύ,
κάλλος Νυμφίου,
δι᾽ Ὃν ἐνηθλήσατε.

*Ὁ Οἶκος*

Παρθενίας ὁδὸν ἐκλεξάμεναι,
καὶ Χριστοῦ τῇ ἀγάπῃ δεσμούμεναι,
Ἐκκλησίαν τρανῶς ἐδοξάσατε,
ὡς ἀμνάδες Θεοῦ θαυμαστῶς βιώσασαι.
Πρὸ τυράννων γὰρ τὴν τῆς πλάνης
σκοτομήνην σοφῶς καταισχύνασαι,
ἐν τῇ λίμνῃ ὡς θεόπνοοι νῆες ἐῤῥίφητε,
καὶ μετὰ ταῦτα θυμῷ θηριώδει,
πυρὸς ὑλαίου ἐκοινωνήσατε.
Ὅθεν ἐξαχθεῖσαι
σὺν Θεοδότῳ εἰς ἀναψυχήν,

ὑπὲρ ἡμῶν ἱκετεύσατε
τὸν Φιλάνθρωπον Δεσπότην,
δι᾽ Ὃν ἐνηθλήσατε.

*Τὸ Συναξάριον*

Τῇ ΙΗ´ τοῦ μηνὸς Μαΐου, Μνήμη τῶν Ἁγίων ἑπτὰ Μαρτύρων γυναικῶν, τῶν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας, Ἰουλίας Τεκούσης, Ἀλεξανδρίας, Κλαυδίας, Φαεινῆς, Εὐφρασίας, Ματρώνης, καὶ Θεοδότου Μάρτυρος.

*Στίχοι*

Λίμνῃ γυναικῶν ἑπτὰς ἐμβεβλημένη,
Χαίρει βίου ῥέοντος ἐκβεβλημένη.

Εὔοσμον ἴον ἐφάνης, Ἰουλία,
Ἐν Ἐδὲμ μυρίζουσα τῷ μαρτυρίῳ.
Ὀγδόη δεκάτῃ τε Χριστῷ ἐστέφθη Ἰουλία.

*Ὑπόμνημα*

Αἱ ὡς ἄνω Ἅγιαι σὺν τῷ μάρτυρι Θεοδότῳ ὑπῆρχον ἐξ Ἀγκύρας τῆς Γαλατίας. Ὁ δὲ ἅγιος Θεόδοτος γυναικὶ νομίμῳ προσομιλήσας οὐ τῇ περὶ ταύτην ἀσχολίᾳ τῆς θεοσεβείας ἠμέλει, ἀλλ᾽ ἐν σχήματι ἐμπορικῆς μεταπωλικῆς σῖτον ὠνούμενος καὶ ἄρτους φυρῶν τῷ τε Θεῷ προσῆγεν καὶ τοῖς δεομένοις ἐπεχορήγει διὰ τὸν μιαρὸν Θεότεκνον τὸν ἄρχοντα προστάξαι ἐκ τῶν εἰδωλοθύτων τὰ εἰς τροφὴν τοῖς Χριστιανοῖς παρασκευαζόμενα ἐπιῤῥαίνεσθαι. Ἀλλὰ καὶ ἐν ταῖς φυλακαῖς εἰσιὼν τοὺς καθειργμένους πιστοὺς ἐπεστήριζε καὶ μετεδίδου τούτοις τροφήν. Δόξαν δέ ποτε καταλαμβάνει τὰς εἰρημένας ἑπτὰ παρθένους, ὧν μία, ἡ οὕτω καλουμένη Τεκοῦσα, θεία ὑπῆρχεν αὐτοῦ. Αἳ καὶ προσαχθεῖσαι τῷ ἄρχοντι καὶ μὴ βουληθεῖσαι θῦσαι, ἐξεδόθησαν πρὸς ὕβριν καὶ τῇ τοῦ Χριστοῦ χάριτι διεφυλάχθησαν ἄφθοροι. Εἶτα λίθοις προσεδέθησαν καὶ τῷ τῆς λίμνης βυθῷ ἀπεῤῥίφησαν. Ὧν τὰ ἅγια λείψανα

ἀνελόμενος μετὰ τῶν ἐκεῖσε ὄντων Χριστιανῶν ἐντίμως ἐκήδευσεν. Καὶ ἐπὶ τοῦτο διαβληθεὶς καὶ φανερὸν ἑαυτὸν τοῖς ζητοῦσι ποιήσας, παρέστη Θεοτέκνῳ τῷ ἄρχοντι καὶ τὸν Χριστὸν ὁμολογήσας καὶ Θεὸν εἰπών, κρεμασθεὶς ξέεται καὶ ἅλμην μετ’ ὄξους τοῖς ξεσθεῖσι μέλεσιν ἐπιδέχεται καὶ λίθοις τὰς σιαγόνας συνθλᾶται καὶ αὖθις ἀναρτηθεὶς ξέεται καὶ ὀστράκῳ πυρωθέντι ἐπιτίθεται καὶ πάλιν ξέεται καὶ οὕτω τὴν διὰ ξίφους ὑφίσταται ἐκτομήν. Τὰ δὲ λείψανα τῶν Παρθένων ὁ παράνομος ἄρχων ἐξενεγκὼν πυρὶ παραδίδωσιν.

καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

*ᾨδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου.*

Σωτῆρα ἐκ ψυχῆς ἀγαπήσασα,
Ματρῶνα, τούτῳ ἔθυσας,
σῶμά σου ἁγνόν,
διὸ χαρᾶς τοῦ οὐρανοῦ,
σὺν συνάθλοις Ἑπτά σου μετέχουσα,
ὑμνεῖς αἰωνίως τὸν Νυμφίον,
Μαρτύρων τὸ στεφάνωμα.

Ὡραῖος ὑπὲρ πάντα καὶ ἅπαντας,
ὁ Λόγος Θεοῦ πέφυκεν,
ᾯ πνευματικῶς,
συναρμοσθεῖσα τὸ διπλοῦν,
Εὐφρασία, ἀπέλαβες ἔπαθλον,
τὸ αἷμά σου χύσασα ὡς μύρον,
παρθενομάρτυς ἔνδοξε.

Προστάτης τῶν Παρθένων γεγένησαι,
Θεόδοτε φιλόχριστε,
καὶ Χριστιανούς,

ἐκ μιασμοῦ εἰδωλικοῦ,
ἐπινοίᾳ σοφῇ διεφύλαξας,
διὸ νῦν τρυφᾷς τοῦ Θείου Ἄρτου,
δι' Ὃν γενναίως ἤθλησας.

*Θεοτοκίον*

Αἰσθήσεις καθαρὰς παραστήσασα,
Ἀλεξανδρία πάντιμε,
τῷ σῷ Νυμφίῳ καὶ Θεῷ,
τὴν καθαρότητα ψυχῆς,
ἀγαπῶντι καὶ ταύτην τιμήσαντι,
Παρθένου γὰρ μήτραν ἐνοικήσας,
ἁγνότητα ἐδίδαξεν.

*Ὠδὴ η´. Αὕτη ἡ κλητή.*

Ῥήματα ζωῆς θεωροῦσα τοὺς λόγους,
Κυρίου, Ἰουλία,
αὐτοὺς πρᾶξιν ἐποίεις·
ὅθεν ἄρσιν σταυροῦ,
εἰς μαρτύριον γλυκὺ μετεποίησας,
τῆς δόξης τυχοῦσα,
ζωῆς τῆς αἰωνίου.

Θρόνος τοῦ Χριστοῦ γενομένη, Κλαυδία,
σεραφικῶς ἐβίους,
ἁγνότητα τηροῦσα,
καὶ ἀθέων δεινῶν,
μὴ πεισθεῖσα ἐντολαῖς ἐμαρτύρησας,
ἐν Ἀγκύρας λίμνῃ,
καὶ τῷ πυρὶ ῥιφθεῖσα.

Ἔσπειρες ψυχῇ τὴν ἀγάπην Δεσπότου,
Τεκοῦσα, ἐγκρυφίως,
αὐξηθεῖσαν ὡς δένδρον,
καὶ καρπὸν ἐν καιρῷ,

ἀποδοῦσαν τὴν θείαν σου ἄθλησιν,
δι’ ἧς τῶν Ἁγίων,
συμμέτοχος ἐδείχθης.

*Θεοτοκίον*

Νοῦν σου φαεινὸν τὸ Χριστοῦ φῶς οἰκῆσαν,
ὦ Φαεινή, ὡδήγει,
εἰς ὁδοὺς σωτηρίας·
ὅθεν ἄθλους σεπτούς,
ὑπελθοῦσα τῷ Κυρίῳ συνήνωσαι,
καὶ σὺν Θεοτόκῳ,
Αὐτοῦ ὁρᾷς τὴν ὄψιν.

*Ὠδὴ θ΄. Φωτίζου, φωτίζου.*

Οὐράνιαι τάξεις,
καὶ τῶν Μαρτύρων οἱ χοροί,
νοερῶς χεῖρας τούτων,
χαίροντες ἐκρότησαν,
ὑποδεχθέντες ὑμᾶς τὰς σεμνάς,
Κόρας ἑπτά,
τὰς γενναιοφρόνως,
καταργησάσας τὸν ἀλάστορα.

Ὑπὲρ ἃ νοοῦμεν,
Παρθενομάρτυρες Χριστοῦ,
νῦν ὁρᾶτε ἀλήκτως,
εἰς τερπνὸν Παράδεισον,
ἀντὶ ἀγώνων λαβοῦσαι μισθόν,
θέαν λαμπράν,
ὄψιν γλυκυτάτην,
τοῦ Ἰησοῦ ὡς ἐποθήσατε.

Στολὴν ἐνδυθεῖσαι,
τὴν νυμφικὴν μαρτυρικῶς,
καὶ ἐντὸς Παραδείσου,

οἰκισθεῖσαι πάνσεμνοι,
σὺν Θεοδότῳ σεπτῷ ἀθλητῇ,
χάριν ἡμῖν,
Πνεύματος αἰτεῖσθε,
καὶ πῦρ ἀγάπης θεόφλεκτον.

*Θεοτοκίον*

Ἀνύμφευτε Μῆτερ,
παρθενευόντων ἡ χαρά,
τὸν ἀγνείας δοτῆρα,
Ἰησοῦν τὸν πάγκαλλον,
σὺν ἑπταρίθμοις Παρθένοις ὁμοῦ,
ὑπὲρ ἡμῶν,
τῶν τὴν παρθενίαν,
ἐκλεξαμένων ἱκετεύσατε.

*Ἐξαποστειλάριον*
*Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.*

Φθορᾶς ἀπεξεδύθητε,
τὸν σπιλώδη χιτῶνα,
καὶ νυμφικὸν ἱμάτιον,
ἐνεδύθητε πᾶσαι,
διὰ σεπτοῦ μαρτυρίου,
ἐν τῇ λίμνῃ ῥιφεῖσαι,
ἑπτὰ Παρθένοι τίμιαι,
σὺν κλεινῷ Θεοδότῳ,
ὅθεν ἡμῖν,
δότε οὐρανόθεν χάριν τὴν θείαν,
Νυμφίον ἱκετεύουσαι,
ἄφθαρτον ἀθληφόροι.

*καὶ τῆς προλαβούσης ἑορτῆς*

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ
*Ψάλλομεν στιχηρὰ προσόμοια.*

www.tezaurliturgic.ro

*Ἦχος α΄ Τῶν οὐρανίων ταγμάτων.*

Παρθενικὴ εὐωδία,
ἡμῖν ἐκκέχυται·
ἑπτὰ γὰρ ἀθληφόροι,
σὺν κλεινῷ Θεοδότῳ,
ὡς θείαν ἀνθοδέσμην μαρτυρικά,
κατορθώματα τίθενται,
πρὸ ὀφθαλμῶν χριστωνύμων,
καὶ τὰς ψυχάς,
πρὸς Θεοῦ ἀγάπην αἴρουσιν.

Ἀδελφικῶς συνδεθεῖσαι,
ἐν τῇ ἀγάπῃ Χριστοῦ,
καὶ μίαν γνώμην σχοῦσαι,
Ἀθληφόροι γενναίως,
τὴν πλάνην τῶν εἰδώλων,
πρὸ δυσσεβῶν,
ὁμοφώνως ἠλέγξατε,
τὸν Ἰησοῦν μόνον γνοῦσαι,
ὄντως Θεόν,
καὶ Νυμφίον περιπόθητον.

Ἐν τῇ ἀφθάρτῳ ἁγνείᾳ,
ναοὶ γεγένησθε,
τοῦ ἐκ Παρθένου φύντος,
δι’ Ὃν κόσμου ἡδέα,
ἠρνήσασθε, Παρθένοι,
καὶ τῷ Αὐτοῦ,
ἐκκαιόμεναι ἔρωτι,
τῷ μαρτυρίῳ συνήφθητε μυστικῶς,
εἰς παστάδα τὴν οὐράνιον.

Σῖτον ὠνούμενος ὧδε,
φθαρτὸν Θεόδοτε,
Ἄρτον ζωῆς ἀφθάρτου,
ἐστιᾶσαι νῦν ἄνω,

Παρθένοις ἑπταρίθμοις,
φανεὶς συνεργός,
εἰς μαρτύριον ἔνθεον,
μεθ' ὧν ἀπαύστως πρεσβεύετε Ἰησοῦ,
ὑπὲρ πάντων τῶν τιμώντων ὑμᾶς.

*Δόξα. Ἦχος πλ.α΄*

Ἐκ τῆς ἑβδοματικῆς φθορᾶς τοῦ παρόντος,
εἰς τὴν ἀφθαρσίαν τῆς ὀγδόης εἰσεληλύθατε,
ἑπτάριθμοι Παρθενομάρτυρες Χριστοῦ,
διὰ τῆς ἰσαγγέλου μεταστοιχειώσεως τῶν σωμάτων,
ὡς τὴν ἁγνείαν ἄμωμον τηρήσασαι,
καὶ τοῦ μαρτυρίου γενναιοψύχως κοινωνήσασαι.
Ὅθεν δεόμεθα, μακάριαι,
μνήσθητε ὡς φιλάδελφοι,
τῶν μετὰ πόθου εὐλαβῶς τελούντων,
τὸ πανίερον ὑμῶν μνημόσυνον.

*Καὶ νῦν.Τῆς ἑορτῆς ἢ Ἀναστάσεως ἡμέρα.*

*Δοξολογία μεγάλη καὶ ἀπόλυσις τοῦ Ὄρθρου*

*Εἰς τὴν Θείαν Λειτουργίαν,*
*Ἀπόστολος·Ρωμ.8, 35-39. Τίς ἡμᾶς χωρίσει...*
*Εὐαγγέλιον·τῶν Δέκα Παρθένων(Ματθ.25,1-13)*

*Μεγαλυνάριον κοινόν*

Χαίρετε Παρθένοι Ἑπτὰ σεμναί,
Φαεινή, Τεκοῦσα,
Εὐφρασία καὶ Φαεινή,
σὺν Ἀλεξανδρίᾳ,
Ματρῶνα, Ἰουλία,
καὶ θείῳ Θεοδότῳ,
Ἀγκύρας μάρτυρες.

www.tezaurliturgic.ro

*ἕτερον εἰδικὸν τῆς ἁγίας Ἰουλίας*

Ὅνπερ ἔσχες ἔρωτα θεϊκόν,
μάρτυς Ἰουλία,
δὸς καρδίᾳ μου ταπεινῇ,
ὡς συνωνυμούσῃ,
καὶ πόθω ἐκζητούσῃ,
τὸν νοητὸν Νυμφίον,
Ὧπερ συνήρμοσαι.

*Στίχοι*

Ἑπταδικὴν νικήσασαι φθοροποΐαν,
Ὀγδόης δότε ἡμῖν, Παρθένοι, χάριν.
*ἕτεροι*
Ὡς οὖσα ἄνθος τοῦ Χριστοῦ, Ἰουλία,
Κατευωδίασον τὰς συνωνυμούσας.



Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ἡ παροῦσα Ἀκολουθία ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας, Ἁγίου Ὄρους Ἄθω,τῇ 30.4.2006, φιλαγίῳ αἰτήσει τοῦ ἐλλογιμωτάτου Καθηγητοῦ τῆς Θεολογικῆς Σχολῆς τοῦ ἐν Θεσσαλονίκῃ Ἀριστοτελείου Πανεπιστημίου Κυρίου Στεργίου Σάκκου.